Η ΕΟΡΤΗ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩ ΦΑΝΕΝΤΟΣ ΣΗΜΕΙΟΥ ΤΟΥ ΣΤΑΥΡΟΥ ΕΙΣ ΤΟ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

Τήν Πέμπτην, 7ην /20ήν Μαΐου 2021, ἑωρτάσθη ὑπό τοῦ Πατριαρχείου ἡ ἑορτή τοῦ ἐν οὐρανῷ φανέντος σημείου τοῦ Σταυροῦ.

Κατ' αὐτήν τήν ἑορτήν ἡ Ἐκκλησία ὅλη, ἰδίᾳ δέ ἡ τῶν Ἱεροσολύμων, ἀναμιμνήσκεται ὅτι τήν 7ην Μαΐου τοῦ ἔτους 351 ἀνεφάνη φωτεινός καί λαμπρός ὑπέρ τάς ἀκτῖνας τοῦ ἡλίου σταυρός ἀπό τοῦ Φρικτοῦ Γολγοθᾶ ἕως τοῦ Ὄρους τῶν Ἐλαιῶν, τόν ὁποῖον θαυμάζοντες εἶδον οἱ τῶν Ἱεροσολύμων κάτοικοι, ἐξερχόμενοι ἐκ τῶν οἰκιῶν αὐτῶν.

Τήν πληροφορίαν ταύτην ἔχει ἡ Ἐκκλησία ἐξ ἐπιστολῆς τοῦ Ἀρχιεπισκόπου Κυρίλλου τοῦ Κατηχητοῦ πρός Κωνστάντιον τόν αὐτοκράτορα, υἱόν τοῦ Μεγάλου Κωνσταντίνου, ἡ ὁποία καί παρατίθεται αὐτούσιος ὡς ἔχει:

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ ΠΡΟΣ ΚΩΝΣΤΑΝΤΙΟΝ ΤΟΝ ΕΥΣΕΒΕΣΤΑΤΟΝ ΒΑΣΙΛΕΑ

Περί τοῦ ἐν οὐρανοῖς φανέντος σημείου τοῦ Σταυροῦ ἐκ φωτός ἐν Ἱεροσολύμοις ὀφθέντος

Βασιλεῖ θεοφιλεστάτῳ καί εὐσεβεστάτῳ

Κωνσταντίῳ Αὐγούστῳ,

Κύριλλος, ὁ ἐν Ἱεροσολύμοις Ἐπίσκοπος,

ἐν Κυρίῳ χαίρειν

Ἐπί μέν τοῦ θεοφιλεστάτου καί μακαρίας μνήμης Κωνσταντίνου, τοῦ σοῦ Πατρός, τό σωτήριον τοῦ Σταυροῦ ξύλον ἐν Ἱεροσολύμοις ηὕρηται, τῆς θείας χάριτος, τῷ καλῶς ζητοῦντι τήν εὐσέβειαν, τῶν ἀποκεκρυμμένων Ἁγίων Τόπων παρασχούσης τήν εὕρεσιν. Ἐπί δέ σοῦ, Δέσποτα, Πανευσεβέστατε Βασιλεῦ, προγονικήν εὐσέβειαν μείζονι τῇ πρός τόν θεόν εὐλαβείᾳ νικῶντος, οὐκ ἀπό γῆς λοιπόν, ἀλλ' ἐξ οὐρανῶν τά θαυματουργήματα καί τοῦ Κυρίου καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Μονογενοῦς Υἱοῦ τοῦ θεοῦ, τό τῆς κατά τοῦ θανάτου νίκης τρόπαιον, ὁ μακάριος λέγω Σταυρός, φωτός μαρμαρυγαῖς ἀπαστράπτων ἐν Ἱεροσολύμοις ὤφθη.

Ἐν γάρ ταῖς ἁγίαις ταύταις ἡμέραις τῆς Ἁγίας Πεντηκοστῆς, Νόνναις Μαΐαις, περί τρίτην ὥραν, παμμεγέθης Σταυρός ἐκ Φωτός κατεσκευασμένος, ἐν οὐρανῷ, ὑπεράνω τοῦ Ἁγίου Γολγοθᾶ καί μέχρι τοῦ ἁγίου Ὄρους τῶν Ἐλαιῶν, ἐκτεταμένος ἐφαίνετο. Οὐχ ἑνί καί δευτέρῳ μόνον φανείς, ἀλλά παντί τῷ τῆς Πόλεως πλήθει φανερώτατα δειχθείς. Οὐχ ὡς ἄν τις νοήσειεν, ὀξέως κατά φαντασίαν παραδραμών· ἀλλ' ἐπί πλείοσιν ὥραις ὑπέρ γῆν ὀφθαλμοφανῶς θεωρούμενος, καί ταῖς ἀπαστραπτούσαις μαρμαρυγαῖς τάς ἡλιακάς ἀκτῖνας νικήσας· ἦ γάρ ἄν ὑπ' αὐτῶν νικώμενος ἐκαλύπτετο, εἰ μή δυνατωτέρας ἡλίου τοῖς ὀρῶσι παρεῖχε τάς λαμπηδόνας. Ὡς ἅπαν μέν ἀθρόως ἐξ αὐτῆς εἰς ἁγίαν Ἐκκλησίαν ἐπιδραμεῖν τό τῆς πόλεως πλῆθος, τῷ τῆς θεοπτείας φόβῳ μετ' εὐφροσύνης κατασχεθέν· νέων ἅμα καί πρεσβυτέρων, ἀνδρῶν τε καί γυναικῶν καί πάσης ἡλικίας καί μέχρις αὐτῶν ἤδη

τῶν κατ’ οἴκους θαλαμευομένων κορῶν· ἐντοπίων τε καί ξένων, Χριστιανῶν τε ἅμα, καί τῶν ἀλλαχόθεν ἐπιδημούντων ἐθνικῶν. Ὁμοθυμαδόν δέ πάντων, ὡς ἐξ ἑνός στόματος Χριστόν Ἰησοῦν, τόν Κύριον ἡμῶν, τόν Υἱόν τοῦ θεοῦ τόν Μονογενῆ, τόν θαυματοποιόν ἀνυμνούντων ἔργῳ τε καί πείρᾳ παραλαβόντων, ὅτι Χριστιανῶν τό δόγμα τό πανευσεβές, οὐκ ἐν πειθοῖς σοφίας ἐστί λόγοις, ἀλλ’ ἐν ἀποδείξει πνεύματος καί δυνάμεως· οὐχ ὑπ’ ἀνθρώπων μόνον καταγγελλόμενον, ἀλλ’ ἐξ οὐρανῶν θεόθεν μαρτυρούμενον.

Ἔτει σωτηρίῳ τριακοσιοστῷ πεντηκοστῷ ἑνί.

Διά τήν ἑορτήν ταύτην ἐτελέσθη τήν πρωΐαν τῆς ἑορτῆς θεία Λειτουργία ἐπί τοῦ Φρικτοῦ Γολγοθᾶ, προεξάρχοντος τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σεβαστείας κ. Θεοδοσίου, συλλειτουργούντων αὐτῷ τῶν Ἀρχιμανδριτῶν π. Μελετίου, π. Ἀρτεμίου, π. Καλλίστου καί π. Μακαρίου, τοῦ ἐφημερίου τοῦ Πανιέρου Ναοῦ τῆς Ἀναστάσεως π. Ἀθανασίου καί τῶν Ἱεροδιακόνων π. Εὐλογίου καί π. Συμεών, ψαλλούσης τῆς μουσικῆς χορῳδίας τῆς Πατριαρχικῆς Σχολῆς Σιών ὑπό τόν κ. Βασίλειον Γκοτσόπουλον, ἐν συμμετοχῇ μοναχῶν, μοναζουσῶν καί κατοίκων τῆς Ἱερουσαλήμ.

Ἅμα τῇ ἀπολύσει τῆς θείας Λειτουργίας, ἡ Ἀρχιερατική Συνοδεία κατῆλθεν εἰς τήν Ἁγίαν Ἀποκαθήλωσιν, ἔνθα προσῆλθον οἱ Ἀρχιερεῖς τοῦ Πατριαρχείου καί ἠκολούθησε λιτανεία τρίς πέριξ τοῦ Ἁγίου Τάφου.

Μετά τήν λιτανείαν πρό τοῦ Ἁγίου Κουβουκλίου, ὁ λειτουργός Ἀρχιερεύς ἀνέγνωσε τήν ἐπιστολήν τοῦ Πατριάρχου Ἱεροσολύμων Κυρίλλου ἀραβιστί καί ὁ Σεβασμιώτατος Μητροπολίτης Καπιτωλιάδος κ. Ἡσύχιος ἑλληνιστί.

Τούτων γενομένων, ἡ Ἀρχιερατική Συνοδεία ἀπέδωσε τά σέβη αὐτῆς εἰς τόν Μακαριώτατον εἰς τά Πατριαρχεῖα.

Ἐκ τῆς Ἀρχιγραμματείας